


- Η' γνῶσις.
  - Η' ἄνευ λόγου.
    - Η' Μερικὴ, ἢ ποιεῖ τὴν Πεῖραν.
    - Η' καθόλου, ἢ ποιεῖ τὴν Ἐμπειρίαν.
  - Η' μετὰ λόγου.
    - Η' μερική.
      - Καὶ ποιεῖ Τέχνης μέρος.
      - Η' Ἐπιστήμης μέρος.
    - Η' καθόλου.
      - Η' ἐργατικὴ ἔχουσα τὸ ὑποκείμενον, καὶ ποιεῖ Τέχνην τελείαν.
      - Η' ἄπρακτος, ἢ ποιεῖ Ἐπιστήμην.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Τῶν ψυχικῶν δυνάμεων.
- Αἱ μὲν φυτικαί.
  - Θρεπτική.
  - Αὐξητική.
  - Γεννητική.
- Αἱ δὲ ζωτικαί, ἢ ὀρεκτικαί.
  - Βούλησις.
    - Προαίρεσις.
    - Θυμός.
  - Καὶ ἐπιθυμία.
- Αἱ δὲ γνωστικαί, ἢ διανοητικαί.
  - Νοῦς.
    - Διάνοια.
    - Δόξα.
    - Φαντασία.
  - Αἴσθησις.

Ἰστέον ὅτι τῆς ἐπινοίας διχῶς ἐκλαμβανομένης, ἡ μέν ἐστιν οἷον ἐπίνοιά τις καὶ ἐπενθύμησις, φύσιν ἔχουσα τὰ συγκείμενα ἐκ φύσεως διαχωρίζειν, καὶ κατ' ἰδίαν σύστασιν ἑκάτερον ἐπινοεῖν. οἷον ψυχὴ καὶ σῶμα, ἅπερ εἰσὶν ἅμα δεδημιουργημένα, καὶ ἐξ ἀμφοτέρων ἄνθρωπος γέγονεν ἕν, ἀλλ' ἡ ἐπίνοια αὕτη δύναται διαιρεῖσθαι τὸν ἄνθρωπον εἰς τὴν ψυχήν, καὶ τὸ σῶμα, καὶ πρὸ τῆς ἀπ' ἀλλήλων διακρίσεως καὶ χωρισμοῦ τὴν ψυχὴν κεχωρισμένην ἐπινοῆσαι τοῦ σώματος, καὶ τὸ σῶμα κεχωρισμένον ἐπινοῆσαι τῆς ψυχῆς· διὰ τὸ εἶναι τὴν μὲν ψυχὴν οὐσίαν ἀθάνατον, καὶ ζωῆς αἰτίαν τῷ σώματι. τὸ δὲ σῶμα φύσις θνητὸν οὐκ ἀφ' ἑαυτοῦ τὸ ζῆν ἔχειν, καὶ ὅσα ἄλλα ἔνεισιν ἑκατέροις. πάλιν τὸ σῶμα, καὶ τὸ χρῶμα ὁμοῦ πεφύκασιν εἶναι, καὶ ἀδύνατον τὸ σῶμα τοῦ χρώματος χωρισθῆναι, οὔτ' αὖ τὸ χρῶμα τοῦ ὑποκειμένου σώματος ἄμοιρον εἶναι. ἀλλ' ἡ ἐπίνοια ταῦτα ἀπ' ἀλλήλων διΐστησι, καὶ τὸ μὲν κεχρωσμένον φύσει σῶμα, ἐν ἑαυτῇ ἐστερημένον τοῦ χρώματος συνίστησιν. ὁμοίως καὶ τὸ χρῶμα διῃρημένον τοῦ

σώμα

σώματος. καὶ αὕτη μὲν ἐστιν ἡ πρώτως καὶ κυρίως λεγομένη ἐπίνοια. ἡ δὲ λοιπὴ, ψιλὴ ἐπίνοια κατονομάζεται. τὰ γὰρ μὴ ἔχοντα ὑπόστασιν, ὡς ἐνυπόστατα λογίζεται, καὶ τὰ μὴ ὄντα, ὡς ὄντα, ἥτις διανοίας ὑπάρχει ἀνάπλασμα, ἄνθρωπον συνιστῶσα πτερωτὸν, καὶ πλοῖον ἐναέριον, καὶ ἕτερα παραπλήσια. καὶ ἐκ τῶν ὅλων δὲ μέρη τινὰ λαμβάνουσα, καὶ μετ' ἀλλήλων συντιθεῖσα, ὑφιστᾷ τὰ παντελῶς ἀνύπαρκτα. τοιοῦτόν ἐστιν ὁ κένταυρος, εἴπουν ἱππάνθρωπος. ὅπερ τῶν ὄντων οὐδέν ἐστιν, ἀλλὰ μόνον ψιλὸν ἐπινόημα. διαφέρει δὲ τῆς φαντασίας ἡ ψιλὴ ἐπίνοια, ὅτι ἡ μὲν φαντασία τῶν ἐνυποστάτων ἐστὶν ἀναπόλησις. ὡς ὅταν τὶς τὸ ὁραθὲν ἀναπολῇ καὶ φαντάζηται. ἡ δὲ ψιλὴ ἐπίνοια ἐστὶ διατύπωσις τῶν ἀνυποστάτων, καὶ μηδαμῶς ὄντων, μόνην τὴν ἐνθύμησιν ἔχουσα γένεσιν, ὥσπερ καὶ τὴν λήθην τελείαν φθοράν. καὶ ταῦτα μὲν περὶ τούτων χρειωδῶν ὄντων τοῖς μετέπειτα ἐκθησομένοις. νῦν δὲ ἐχόμενον ἂν εἴη ἐρευνῆσαι περὶ τοῦ γένους τῆς λογικῆς μεθόδου, τοῦτε πόρρω καὶ προσεχοῦς, προσέτι περὶ τοῦ τέλους αὐτῆς, καὶ τῆς διαφορᾶς, ἵν' ἐκ τούτων τὸ τί ἐστι ταύτης θηρεύσωμεν.

## Περὶ τοῦ γένους τῆς Λογικῆς, καὶ εἰ ἐστὶν ἕξις ἐπίκτητος, ἢ οὔ.

ΤΟ ζητούμενον τοῖς περιπατητικῶς φιλοσοφοῦσι, τῷ ὄντι παράδοξον κρίνεται, τὴν Λογικὴν δηλαδὴ ἔμφυτον εἶναι τῇ ἀνθρωπείᾳ ψυχῇ, καὶ μὴ ἐπίκτητον ἕξιν. Ἔμπης παρὰ Πλάτωνι, καὶ τοῖς πρεσβεύουσι τὰ ἐκείνου δόγματα ἀπαρασάλευτα, οὐ μόνον εὔλογον, ἀλλὰ καὶ ἀναγκαῖον, τὸ τοιοῦτον φαίνεται δόγμα. τὴν λογικὴν δηλαδὴ μέθοδον, ὥσπερ καὶ τὰς λοιπὰς ἕξεις, φύσει ἐνυπάρχειν ταῖς ἀνθρωπίναις ψυχαῖς, καὶ μὴ προσπορίζεσθαι ταύτας μαθήσει καὶ ἐθισμῷ. διατοι τοῦτο ὁ Φιλόσοφος δέον ἔκρινε, μνήμην περὶ τούτου ποιήσασθαι, ἔντε πολλοῖς ἄλλοις, καὶ ἐν ἀρχῇ τοῦ πρώτου τῶν ὑστέρων ἀναλυτικῶν.

## Δόξα Πλάτωνος.

ΔΕδοκται τοιγάρτοι τῷ Πλάτωνι πάσας τὰς ἐπιστήμας, καὶ ἁπλῶς εἰπεῖν πάσας τὰς ἕξεις ἐμφύτους εἶναι τῇ ἀνθρωπίνῃ φύσει, καὶ παρέπεσθαι ταύτῃ, ὥσπερ καὶ τὰ εἰδητικὰ συμβεβηκότα παρέπεται τῷ εἴδει, οὗπερ εἰσὶν ἴδια, τὴν δὲ ἡμετέραν ψυχὴν ἐπιστήμονα πάντων εἶναι πρὸ τοῦ εἰσελθεῖν τῷ σώματι. μετὰ δὲ τὸ εἰσελθεῖν, διὰ τὴν συνάφειαν τὴν πρὸς



Ε.Ρ.Α. της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

αὐτὸ, λήθην ἀμπέχεσθαι ὧν ἐτύγχανεν εἰδυῖα πρότερον. ὃ διὰ τοῦτο μὴ δύνασθαι κατ᾽ ἐπιστήμην ἐνεργεῖν· προσέτι καὶ τοῦ μὴ γίνεσθαι πάντας ἀνθρώπους ὁμοίως μαθήσει καὶ διδασκαλίᾳ ἐπιστήμονας, τὸ αἴτιον ἐπὶ τὸ σῶμα ἀνῆγεν, μᾶλλον, καὶ ἧττον ἐπιπροσθοῦν, κατὰ τὴν διάφορον κρᾶσιν, δι᾽ ἣν κρᾶσιν καὶ ἡ λήθη οὐχ ὁμοίως τοῖς πᾶσιν ἐπιγίγνεται.

Ἐπομένως τοίνυν ἔφασκε τὸν διδάσκοντα ἐν τῷ διδάσκειν, μηδὲν ἄλλο ποιεῖν, ἢ ἀφαιρεῖν τὰ ἐπιπροσθοῦντα, καί τινα τρόπον διεγείρειν τὴν μνήμην. ἐφ᾽ ᾧ προαγάγῃ ἐς φῶς τὰς κεκρυμμένας, καὶ λανθανούσας ἐν τῇ ψυχῇ ἕξεις· ὅθεν καὶ τὸ πολυθρύλλητον ἐκεῖνο συνῆκτο ἀξίωμα, τὸ λέγον, τὰς μαθήσεις οὐδὲν ἄλλο, ἢ ἀναμνήσεις εἶναι.

## Ἐμπέδωσις τοῦ προβληθέντος.

Συμβάλλεται μὲν εἰς ἐμπέδωσιν τοῦ τοιούτου δόγματος. Πρῶτον μὲν τὸ ἀξιωματικὸν, καὶ παρὰ πᾶσιν ἐπίσημον τοῦ τοιούτου ἀνδρὸς, καὶ ἐπὶ φιλοσοφίαν οὕτως ἐς ἄκρον διαπρέψαντος. Δεύτερον δὲ συμπείθει τοῦτ᾽ αὐτὸ καὶ ὁ λόγος ἐκ τῶν ἐκείνου ὁρμώμενος ὑποθέσεων. ἐτίθετο γὰρ ἐκεῖνος τὴν ψυχὴν ὑπάρχειν ἀθάνατον. διὸ καὶ προϋπάρχειν τῶν σωμάτων ἔλεγεν ἐκεῖνος, διὰ τὸ κοινῶς λεγόμενον ἀξίωμα, πᾶν τὸ γεννητὸν καὶ φθαρτὸν εἶναι, ὁμοίως καὶ τὸ ἄφθαρτον εἶναι ἀγέννητον. Προσέτι ἄτοπον παντελῶς καὶ ἀνάξιον ᾤετο τὴν ἀθάνατον καὶ ἄϋλον φύσιν τῷ θνητῷ καὶ ὑλικῷ σώματι συγγενέσθαι. Διὸ τὴν ψυχὴν προϋπάρχειν τοῦ σώματος ἀπεφαίνετο. προϋπαρχούσης δὲ ἀνάγκη καί τινα εἶναι αὐτῆς ἐνέργειαν πρὸ τοῦ εἰσδῦναι τῷ σώματι. ψυχῆς δὲ νοερᾶς καὶ ἀΰλου τίς ἂν ἄλλη οἰκεία ἐνέργεια γένοιτ᾽ ἂν, πλὴν τοῦ νοεῖν; τοῦτο δὲ τί ἂν ἄλλο εἴη, ἢ θεωρία τῶν ὄντων, καὶ τῆς οὐσίας ἐκείνων κατάληψις. Ἐτίθετο γὰρ ἀκολούθως ὁ Πλάτων, τὰ νοητὰ εἴδη φύσει ἐνυπάρχειν τῇ αὐτῇ ψυχῇ, δι᾽ ὧν ἐκείνη εἰς θεωρίαν τῶν ὄντων προήρχετο. μηδαμῶς δεομένη τῆς ἀπὸ τῶν αἰσθήσεων εἰδωλοποιΐας. τούτων δὲ οὕτως ἐχόντων, προδήλως συνάγεται τὰς Ἐπιστήμας προϋπάρχειν ἐμφύτως τῇ ἀνθρωπίνῃ ψυχῇ, καὶ ταύτην ἀνεπιστήμονα γίνεσθαι παρὰ τὸ σῶμα, τουτέστι διὰ τὰ ἐπιπροσθοῦντα σωματικὰ κωλύματα, καὶ μὴ ἐῶντα ταύτην κατὰ τὴν οἰκείαν αὐτῆς φύσιν ἐνεργεῖν.



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Λημμάτιον περὶ Διαιρέσεως τῶν Ἕξεων.

Ἵνα δὲ ἀκριβέστερον πρός τε τὴν ἀντίρρησιν τοῦ τοιούτου δόγματος, καὶ πρὸς ἐμπέδωσιν τοῦ κατὰ Περιπατητικοὺς φρονήματος χωρῶμεν, ἐπάναγκες εἶναι δοκεῖ περὶ διαιρέσεως ἕξεων διαλαβεῖν. Ἡ Ἕξις τοιγαροῦν πρόδηλόν ἐστιν ὅτι ἀπὸ τοῦ ἔχω λέγεται ῥήματος. ἔστι δὲ αὕτη τῶν ὁμωνύμως λεγομένων, καὶ ταύτην οἱ νεώτεροι πολυσχεδῶς διαιροῦσι. τὰς μὲν γὰρ φασὶ τῶν ἕξεων θεοπνεύστους εἶναι. τοιαύτας δὲ οὐ μόνον τὰς ὑπὲρ φύσιν ἐννοοῦσιν, ἃς καὶ θεολογικὰς ἀρετὰς καὶ χαρίσματα λέγειν εἰώθασιν, ἀλλὰ καὶ τὰς φυσικὰς ἕξεις ἔστιν ὅτε θεοπνεύστους καλοῦσιν, ὡς καὶ αὐτὰς ἐνδεχόμενον εἶναι κατ' ἐπίπνοιαν θείαν ἐγγίνεσθαι. παρὰ ταύτας δέ φασιν ἕξεις καὶ τὰς αἰσθητικὰς δυνάμεις, καὶ ἐπὶ τῶν σωμάτων ὁμοίως ἕξεις εἰώθασι λέγειν ποιάς τινας διαθέσεις δυσαποβλήτους κατὰ ψυχρότητα ἢ θερμότητα, εὐχυμίαν, ἢ κακοχυμίαν. καὶ οὗτοι μὲν οὕτως. ἔστι δὲ διαιρῆσαι ταύτας, καὶ καθ' ἕτερον τρόπον. ὁσαχῶς γὰρ τὸ ἔχω παρὰ τοῖς λογικευομένοις λαμβάνεται, τοσαυταχῶς καὶ τὰς ἐκ τούτου παραγομένας ἕξεις λαβεῖν ἐνδέχεται. τὸ ἔχω τοίνυν ἀφ' οὗ ἡ ἕξις, λαμβάνεται ἐπὶ τοῦ παρόντος μάλιστα τριχῶς. ἢ γὰρ ὡς ὁμώνυμος φωνὴ λαμβάνεται, καὶ ἀδιαφόρως ἔχειν ὁ ἄνθρωπος τὶ λέγεται. ἢ ἄλλοτι τῶν ὄντων. οἷον, ἐπὶ ἀνθρώπου τὸ ἔχειν χεῖρας, γυναῖκα, οἰκίαν, μέγεθος, πατέρα, υἱὸν, καὶ τὰ ὅμοια. ὅπερ ἐπειδὴ εἰς διαφόρους κατηγορίας ἀνάγεται, μετὰ τὰς κατηγορίας ὑπὸ τοῦ Φιλοσόφου ἐτέθη.

Δεύτερον καθὸ λέγομεν τὸν ἄνθρωπον ἔχειν τὶ περὶ τὸ σῶμα. οἷον, ἱμάτια, ὑποδήματα, καὶ τὰ τούτοις παραπλήσια. ὅπερ οἰκείαν κατηγορίαν συνίστησι, ὡς σημαντικὸν τοῦ περίκειμαι. οὐ γὰρ ἀνάγεται εἰς διαφόρους κατηγορίας. διὸ τὴν ἐσχάτην κατηγορίαν ἀποπληροῖ ἐν τοῖς τοῦ ὄντος γένεσι. καὶ Τρίτον τὸ ἔχω λαμβάνεται ὡς σημαντικὸν τοῦ διάκειμαι, ἀφ' οὗ καὶ ἕξις κυριώτερον λέγεται. ἔστι δὲ ἡ τοιαύτη ἕξις εἶδός τι ποιότητος, διατιθέμενον τὸν ἔχοντα ταύτην εὖ, ἢ ἑτέρως, καθ' ἑαυτὸν ἢ πρὸς ἕτερον. καὶ αὕτη ἐστὶν ἡ κυρίως λεγομένη ἐπίκτητος ἕξις. ἥτις ἐπὶ τὰς ψυχικὰς δυνάμεις ἀναφέρεται, ἔστι δ' ὅτε καὶ ἐπὶ τὰς σωματικάς. ὡς ὅταν ἐνυπάρχει τῷ ἀνθρώπῳ εὐεξία, ἢ καχεξία. ἐπὶ τῆς ψυχῆς δὲ ἐκλαμβανομένη, τριχῶς ἐνδέχεται νοηθῆναι. ἢ γάρ ἐστι χεομένη θεόθεν, ὡς ἡ καθ' ἡμᾶς ἱερὰ θεολογία πρεσβεύει, ὡς ἐπὶ τοῦ Σαμουὴλ προφητεύσαντος ἐκ βρέφους, καὶ ἐπὶ τοῦ Σολομῶντος σοφισθέντος θεόθεν, ἀλλ' ἐκ



ΕΡΓΑΣΤΗΡΙΟ ... ΙΩΑΝΝΙΝΑ 2006 (watermark)

ἐκ μαθήσεως, καὶ τῶν ὁμοίων. ἢ ἐστὶν ἐναπηρμένη ὑπ' αὐτῆς τῆς φύσεως, ὡς αἱ ψυχικαὶ δυνάμεις. αἵτινες ἕξεις ὀνομάζονται, διὰ τὸ ἔχειν ταύτας τὸν ἄνθρωπον. ὥσπερ καὶ αὐτὴ ἡ φύσις ἕξις λέγεται, διὰ τὸ καὶ ταύτην ἔχειν τὸν ἄνθρωπον. καὶ Τρίτον ἕξις λέγεται πᾶν τὸ ἐθισμῷ καὶ λόγῳ τοῖς ἀνθρώποις ποριζέσθαι πεφυκός. ἣν καὶ διέλοι τις μάλιστα τριμερῶς. εἴς τε τὰς θεωρητικὰς δηλαδὴ, πρακτικάς τε, καὶ ποιητικάς. καὶ θεωρητικαὶ μὲν εἰσὶν αἱ ἐπιστημονικαί. πρακτικαὶ δὲ αἱ ἠθικαὶ λεγόμεναι. καὶ ποιητικαὶ πᾶσαι αἱ τέχναι. ἀλλὰ τούτων αἱ μὲν πρακτικαὶ, καὶ ἠθικαὶ λεγόμεναι, ἐπὶ τὰς ὀρεκτικὰς δυνάμεις τῆς ψυχῆς ἀναφέρονται.

Διαιροῦνται δὲ αὗται διχῶς, ἢ γὰρ διασώζουσι τὸ διωρισμένον μέσον ὑπὸ τῆς φρονήσεως, παντοίας ὑπερβολῆς καὶ ἐλλείψεως ἐκτὸς οὖσαι, καὶ εἰσὶν ἀρεταί. ἢ ἐκπίπτουσι τοῦ τοιούτου μέσου, κατά τε ὑπερβολὴν καὶ ἔλλειψιν, καὶ κακίαι καὶ πάθη κατονομάζονται. αἱ δὲ θεωρητικαὶ αἳ καὶ ἐπιστημονικαὶ λεγόμεναι, ἐπὶ τὰς γνωστικάς τε καὶ διανοητικὰς δυνάμεις ἀνάγεται τῆς ψυχῆς, ἐφ' ἃς καὶ αἱ ποιητικαὶ, καθ' ὅσον καὶ αὗται, ὡς εἴρηται ἀνωτέρω ἀπό τε τῆς διανοίας καὶ τῆς μετὰ λόγου δόξης προέρχονται. ταύτας δὲ τὰς διανοητικὰς ἕξεις, αἵπερ ἐπὶ τὰς γνωστικὰς δυνάμεις ἀνάγονται ὡς εἴρημεν, διαιροῦσί τινες οὕτω. τὰς μὲν τύπον ἀεὶ ἀληθευτικὰς ἀποκαλοῦντες, τὰς δὲ μὴ ἀεὶ ἀληθευτικάς. καὶ ἀληθευτικαὶ μὲν ἀεὶ εἰσὶν ὅσαι δι' ἐναργῶν σημείων ἢ ἄλλως πῶς, διά τινος μέρους γνωριμωτέρου καὶ πιστοτέρου ἐπιβολαὶ γίνονται, ὡς ἐπὶ τῶν ἐπιστημῶν. αἱ δὲ μὴ ἀεὶ ἀληθευτικαὶ, ὅσαι ἐπὶ τὴν δόξαν, ἢ φαντασίαν ἀνάγονται, αἵτινες ἔσθ' ὅτε, ἄλλ' ἀντ' ἄλλων δοξάζουσι καὶ φαντάζονται. ὡς ὅτε τὶς δοξάζει τι περί τινος. καὶ εἰ μὲν ὃ δοξάζει οὕτως ἔχει ὡς δέδοκται, ἀληθευτικὴ τηνικαῦτα ἡ ἕξις τοῦ δοξάζοντος λέγεται. εἰ δὲ οὐχ οὕτως ἔχει, ψεύδεται ὁ δοξάζων, καὶ οὐκ ἀληθεύει ἡ τούτου δόξα. τῶν δ' ἀεὶ ἀληθευτικῶν πέντε τὰ γένη ἀπαριθμεῖται τῷ Φιλοσόφῳ, ἐν τῷ Ἕκτῳ τῶν Ἠθικῶν. Νοῦς, Σοφία, Φρόνησις, Ἐπιστήμη, καὶ Τέχνη.

Ἡ Λογικὴ τοιγαροῦν ὡς μὲν ἐπίκτητος ἐπὶ τὰς ἐπικτήτους ἕξεις ἀνάγεται. ὡς δὲ διανοητικὴ, ἐπὶ τὰς διανοητικὰς δυνάμεις. ὡς δ' ἀεὶ ἀληθευτικὴ ἐπὶ τὰς ἀληθευτικὰς τούτων. ὑπὸ ποίαν δὲ τούτων καὶ τίνι λόγῳ, ῥηθήσεται ἐφεξῆς ἐν τῷ οἰκείῳ τόπῳ, ὅτε καὶ τὴν δόξαν τῶν λεγόντων ταύτην Ἐπιστήμην εἶναι ἀνατρέψωμεν. νῦν δὲ τούτων οὕτω ληφθέντων, κἀκεῖνο προληπτέον, ὅτι ἡ ἐπὶ τοῦ προβλήματος τῆς ἕξεως φωνὴ, τὴν ἐθισμῷ καὶ λόγῳ ποριζομένην ἕξιν βούλεται σημαίνειν, οὐ μὴν τὴν φυσικὴν δύναμιν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Γ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μίαν, ἢ τὴν μετὰ λόγου ἔφεσιν πρὸς τὴν ἕξιν. φαίνεται γὰρ ἡ τῆς λογικῆς φωνὴ, οὐχ ἁπλῶς λαμβανομένη. χρῶνται γὰρ ταύτῃ οὐ μόνον ἐπὶ τῆς Λογικῆς ἕξεως, ἀλλὰ καὶ ἐπὶ τῆς φυσικῆς δυνάμεως, καθ᾽ ἣν λέγεται ζῶον λογικὸν ὁ ἄνθρωπος, καὶ ἐπὶ τῆς ἐφέσεως τῆς ἕξεως ταύτης, καθ᾽ ἣν ἐφίεταί τις κατὰ λόγον ζῆν, ἀλλὰ καὶ ἐπὶ τῆς ἕξεως μόνον λαμβανομένη, ἐνδέχεται ἐννοεῖν καὶ τὴν γραμματικήν τε καὶ ῥητορικήν. λογικαὶ γὰρ ἕξεις καὶ αὗται ὡς περὶ λόγους καταγινόμεναι. συνεσταλμένον δ᾽ ἐννοοῦντες τὸ πρόσρημα, οἷον τὴν λέξιν τῆς Λογικῆς ἕξεως, τὴν συλλογιστικὴν μέθοδον φιλοῦμεν σημαίνειν, ἧς ἐστὶ παραδιδόναι ὄργανα διακριτικὰ ψεύδους καὶ ἀληθείας. καὶ αὕτη κυριώτερον λέγεται λογικὴ ἕξις. περὶ ἧς ἐπὶ τοῦ προκειμένου ὁ λόγος. ἣν καὶ διαλεκτικὴν οἱ πλεῖστοι τῶν νεωτέρων ἀποκαλοῦσι. καί τοι διαλεκτικὴν ὁ Φιλόσοφος οἶδε μόνην τὴν τοπικὴν πραγματείαν, ὡς εἴρηται ἐν τῷ περὶ ἀναπτύξεως τοῦ ὀνόματος ταύτης. νῦν δὲ διοριστέον τὸ προτεθὲν πρόβλημα.

## Διορισμὸς ὃς ἐστὶ πρώτη θέσις τοῦ προτεθέντος προβλήματος.

Ἡ Λογικὴ ἕξις οἷα δὴ πᾶσα Ἐπιστήμη καὶ Τέχνη, ἅπερ ἐθισμῷ καὶ λόγῳ πορίζονται ἕξεις εἰσὶν ἐπίκτητοι, καὶ οὐκ ἐκ φύσεως ἐνυπάρχουσι τῇ ἡμετέρᾳ ψυχῇ.

## Ἐμπέδοσις τούτου.

Δείκνυται τὸ προτεθέν. Πρῶτον μὲν ἀπὸ τοῦ Φιλοσόφου παρ᾽ ᾧ ἐστὶν ἀναντίρρητον δόγμα, τὰ τῶν ὄντων εἴδη μὴ προϋπάρχειν τῶν σωμάτων ὧν εἰσὶν εἴδη. πρὸς ἄλληλα γὰρ εἶναι βούλεται τί, τε εἶδος, καὶ οὗ ἐστὶν εἶδος, ἡ μορφὴ δηλονότι καὶ ἡ ὕλη. τοῦτ᾽ αὐτὸ καὶ ὁ λόγος δείκνυσι μετὰ τῆς πείρας. ὅσα γὰρ ἔμφυτα εἰσὶ φύσει τινὶ καὶ παρεπόμενα ταύτῃ ὡς ἴδια, προηγουμένως ἐφαρμόττει τῷ εἴδει, ὡς ἐκείνου παρεπόμενα, διὰ δὲ τὸ εἶδος, καὶ τοῖς ὑπὸ τὸ εἶδος ἀτόμοις ἐφαρμόττειν. φέρε εἰπεῖν ὡς ἐπὶ τῆς φύσεως τῆς ἀνθρωπίνης τὸ γελαστικόν. ὅπερ προηγουμένως ἐφαρμόττει τῷ καθόλου ἀνθρώπῳ εἴδει, διὰ τούτου δὲ, καὶ πᾶσι τοῖς ὑπὸ τὸ τοιοῦτον εἶδος καθ᾽ ἕκαστα καὶ ἀτόμοις. αἱ δὲ κατὰ λογικὴν, ἢ γραμματικὴν φέρε εἰπεῖν ἕξεις, οὐκ ἐφαρμόττουσι τῷ ἀνθρώπῳ, ᾗ ἀνθρώπῳ, ὅπερ ἐστὶν εἶδος. εἰ γὰρ ἐφήρμοττον αὐταὶ τῷ ἀνθρώπῳ, ἦσαν ἀναγκαίως πάντες ἄνθρωποι γραμματικοὶ, καὶ λογικοὶ,

ὅπερ

Ε.Υ.Τ.Α της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ὥσπερ καὶ γελαστικοί. ἡ δὲ λέγουσα πρότασις, ἄνθρωπος ἐστὶ λογικός, ἢ γραμματικός, οὐδενός ἐστι τρόπου τῶν καθ᾽ αὐτό, οἷον τῶν οὐσιωδῶς λεγομένων, ἀλλὰ κατὰ συμβεβηκὸς μόνον, καὶ ἐπί τινων. οὐκ ἔστιν ἄρα ἡ Λογικὴ ἢ ἡ Γραμματικὴ ἔμφυτος τῷ ἀνθρώπῳ. Δεύτερον ὅσα αὖ εἰσὶν ἔμφυτα φύσει τινί, ὁμοίως καὶ ἐπίσης ἐφαρμόττει πᾶσι τοῖς ὑπὸ τὴν φύσιν ἐκείνην ἀτόμοις. ἀλλ᾽ ἡ Λογικὴ ὥσπερ καὶ αἱ λοιπαὶ ἕξεις, οὐ πᾶσιν ὁμοίως ἐφαρμόττει τοῖς κατὰ μέρος ἀνθρώποις, οὐκ ἄρα ἐστὶν ἔμφυτος τῇ ἀνθρωπίνῃ φύσει.

## Ἀπάντησις πρὸς τοὺς Πλατωνικοὺς λόγους.

ΤΟύτων οὕτως ἐχόντων, οὐκ ἀποδεκτέον τὸ παρὰ Πλάτωνι λεγόμενον. ὅς φησι τὴν ψυχὴν ἀναγκαίως εἶναι τοῦ σώματος προϋπάρχουσαν, ὡς ἄτοπον εἶναι ταύτην τῷ ὑλικῷ καὶ ῥευστῷ σώματι συγγενᾶσθαι, καὶ οὕτω συγκαιρεθήσεται ἀκολούθως πάντα τὰ ἐκείνῳ λεγόμενα. τὸ δὲ τὴν ψυχὴν ἀθάνατον εἶναι, διὸ καὶ τὴν προΰπαρξιν ἐτίθετο, ἔστι καὶ ἄλλως τὸ τοιοῦτον δόγμα συστῆσαι, καὶ μάλιστα ὡς τὰ ἱερὰ τίθησι λόγια, ἢ καὶ ὡς οἱ πλείους τῶν περιπατητικῶς φιλοσοφούντων, καὶ τῶν ἄλλων Φιλοσόφων. τανῦν περὶ τοῦ τοιούτου πολυπραγμονεῖν δόγματος, ὅτι δηλαδὴ ἡ ψυχὴ ὑπάρχει ἀθάνατος, καὶ ὅτι διὰ τὸ εἶναι ἀθάνατον, προϋπάρξεως δεῖται, ἢ οὔ, οὐ μόνον ἐπὶ τῆς προκειμένης πραγματείας ἐστὶν ἀνοίκειον, ἀλλὰ καὶ βαθυτέρας ἐστὶ θεωρίας δεόμενον, καὶ ἀκροατῶν τελειοτέρων ἢ καθ᾽ ὑμᾶς. εἰρήσεται δέ, ἣν διδῷ ὁ Θεός, ἐν τῷ οἰκείῳ καὶ καταλλήλῳ τόπῳ. νῦν δὲ κἀκεῖνο ὑποθετέον, ὅπερ ἀμεθόδως καὶ συντόμως τὸ πλατωνικὸν ἀνατρέψει δόγμα.

## Δευτέρα Θέσις.

Ἡ Λογικὴ ἀντὶ τῆς φυσικῆς δυνάμεως ἐκλαμβανομένη, ἢ τῆς ἐφέσεως τῆς εἰς ἀπόκτησιν τῆς Λογικῆς, ἔμφυτός ἐστι τῇ ἀνθρ. φύσει.

Τῆς θέσεως ταύτης τὸ πρῶτον μέρος ἐστὶν ἀναντίρρητον. ὅτι ἡ φυσικὴ δύναμις ἐστὶν ἔμφυτος τῇ ἀνθρ. φύσει. οὐδεὶς γὰρ ἠμφισβήτησέ ποτε τὴν λογικὴν δύναμιν μὴ συνυπάρχειν ἔμφυτον τῷ ἀνθρώπῳ. πῶς γάρ; ὅπουγε καὶ συστατικὴ διαφορά ἐστι τοῦ αὐτοῦ, καὶ ἐν τῷ ὁρισμῷ παραλαμβάνεται. ὁμοίως καὶ τὸ δεύτερον μέρος τῆς θέσεως οὐκ ἀμφιβάλλεται παρὰ τῆς ὁπωσοῦν μετέχουσι γνώσεως, τοῦτο δὲ ἦν, ὅτι πάντες αὐτοὶ καθ᾽ ὁρμὴν φυσικὴν φέρονται εἰς ἀπόκτησιν τῆς λογικῆς, καὶ τῶν ἄλλων ἐπιστημῶν.

Δεικ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

- Αἱ ἀπὸ τοῦ ἔχω λεγόμεναι ἕξεις τετραχῶς.
  - Ἢ ὡς ὁμώνυμος φωνή, ὃν τρόπον μετὰ τὰς κατηγορίας τοῦτο ἐκτίθεται ὁ Φιλόσοφος.
  - Ἢ ὡς συμπτωτικὸν τοῦ περίκειμαι, ὃν τρόπον τὴν ἐσχάτην κατηγορίαν ἀποπληροῖ ἐν τοῖς γένεσιν.
  - Ἢ κειμένη διάθεσιν ὡς τὰ χαρίσματα.
  - Ἢ ὡς συμπτωτικὸν τοῦ διάκειμαι, ἀφ' οὗ κυριώτερον λέγεται ἕξις.
    - Ἢ ἐκ φύσεως, ὡς ἁπλῶς πᾶσαι αἱ φυσικαὶ δυνάμεις ἐπὶ τῶν σωμάτων.
    - Ἢ ἐθισμῷ καὶ λόγῳ ποριζόμεναι.
      - Αἱ μὲν πρακτικαὶ αἱ ἠθικαί.
        - Ὅσαι τὸ ὡρισμένον μέσον φυλάττουσιν ὑπὸ φρονήσεως εἰσὶν ἀρεταί.
        - Ὅσαι τοῦ τοιούτου μέσου ἐκπίπτουσι δι' ὑπερβολῆς καὶ ἐλλείψεως εἰσὶ κακίαι.
        - Αὗται ἐπὶ τὰς ὀρεκτικὰς δυνάμεις ἀναφέρονται.
      - Αἱ δὲ ποιητικαὶ αἱ τέχναι.
      - Αἱ δὲ θεωρητικαὶ αἱ ἐπιστῆμαι.
        - Αὗται ἐπὶ τὰς γνωστικὰς δυνάμεις τῆς ψυχῆς ἀναφέρονται. ὧν
          - Αἱ μὲν ἀληθευτικαὶ οὐκ ἀεί.
          - Αἱ δὲ ἀληθευτικαὶ ἀεί.
            - Νοῦς,
            - Σοφία,
            - Φρόνησις,
            - Ἐπιστήμη,
            - Καὶ τέχνη.

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

Δείκνυται δὲ τοῦτο, Πρῶτον μὲν ἀπὸ τοῦ Φιλοσόφου, ὃς ἐν ἀρχῇ τῶν πρώτου τῶν μεταφυσικῶν, οἷα τι κοινὸν ἀξίωμα τοῦτο φαίνεται παρειληφὼς φροιμιαζόμενος, ὅτι πάντες ἄνθρωποι τοῦ εἰδέναι φύσει ὀρέγονται.

Δεύτερον ὥσπερ φύσει ἔνεστι τῷ ἀνθρώπῳ κατὰ λόγον ζῆν, οὕτως ἔνεστι φύσει καὶ τὸ κατὰ λόγον ἐννοεῖν. ἀλλὰ μὴν χρῆσθαι λογικῇ, ἢ καὶ ταῖς ἄλλαις ἐπιστήμαις, κατὰ λόγον ἐστὶν ἐννοεῖν, ἄρα ὥσπερ ὁρμῇ φυσικῇ φέρεται ἄνθρωπος πρὸς τὸ κατὰ λόγον ζῆν, οὕτως ὁρμῇ φυσικῇ ἐνεχθήσεται καὶ πρὸς τὸ κατὰ λόγον ἐννοεῖν, καὶ ἀκολούθως πρὸς κτῆσιν τῆς Λογικῆς καὶ τῶν ἄλλων Ἐπιστημῶν, δι' ὧν ἐστὶ τὸ κατὰ λόγον ἐννοεῖν, ὁρμῇ φυσικῇ ἐνεχθήσεται.

Τρίτον, ἕκαστον τῶν ὄντων φύσει φέρεται ἐπὶ τὴν οἰκείαν τελειότητα, ἡ δὲ Λογικὴ καὶ ἁπλῶς πᾶσα Τέχνη καὶ Ἐπιστήμη τελειότητες εἰσὶ τοῦ ἀνθρώπου. διὰ μὲν γὰρ τῶν Ἐπιστημῶν, τελειοῦται ᾗ ἄνθρωπος, διὰ δὲ τῶν Τεχνῶν ᾗ σῶμα καὶ ζῶον, πρόσθες καὶ ᾗ ἄνθρωπος, διὰ τὸ καὶ ἐνίας τῶν Τεχνῶν πρὸς τὸ κατὰ λόγον ζῆν ξυμβάλλεσθαι. ἄρα πρὸς αὐτὰς φύσει ὁ ἄνθρωπος φέρεται, ὡς πρὸς οἰκείαν τελειότητα.

Τὸ παρὰ Πλάτωνι τοιγαροῦν λεγόμενον, οὕτως ἐνδέχεται διαιρεθῆναι τῶν πρὸς τοῦτο ἀντιφερομένων. εἰ μὲν γὰρ τὴν Λογικὴν, ἀντὶ τῆς λογικῆς δυνάμεως ἐκλαμβάνῃ, ἔμφυτός ἐστι τῇ ἀνθρωπίνῃ φύσει ἀναντιρρήτως. εἰ δὲ τὴν ἐπίκτητον ἕξιν ἐννοεῖ, ψεῦδος λαμβάνει, καὶ ἀκαταλλήλως συλλογίζεται. ὁμοίως καὶ ἐπὶ τῶν λοιπῶν Τεχνῶν τε καὶ Ἐπιστημῶν. εἰ μὲν τὴν πρὸς ταύτας ἔφεσιν ἐννοῇ, ἔμφυτός ἐστιν αὕτη τῇ ἀνθρωπίνῃ φύσει, εἰ δὲ τὴν κτῆσιν τούτων, οὐκ ἀληθεύει. πῶς γὰρ ἂν εἴησαν αἱ Τέχναι καὶ Ἐπιστῆμαι ἔμφυτοι, αἵπερ εἰσὶ τελειότητες τοῦ ἀνθρώπου; ἡ δὲ τελειότης ὑστέρα ἐστὶ τοῦ τελειουμένου. πᾶν γὰρ τὸ τελειούμενον μετὰ τὴν ἄφιξιν τὴν ἐν τῷ πρὸς ὃν ἔργῳ λαμβάνει τὴν οἰκείαν τελειότητα. ἄρα αἱ Τέχναι καὶ Ἐπιστῆμαι, οὐκ εἰσὶν ἔμφυτοι, ἀλλ' ἐπίκτητοι ἐθισμῷ καὶ λόγῳ πορίζομεναι. εἶχε δ' ἄν τις καὶ πλείοσι χρήσασθαι πρὸς τὴν τοῦ τοιούτου δόγματος ἀντίρρησιν, ἀλλ' οἶμαι καὶ ταῦτα ἱκανὰ εἰσὶ δυσωπῆσαι τὸν μὴ παντάπασιν ἀμοιροῦντα νοός.

## Περὶ τοῦ προσεχοῦς Γένους τῆς Λογικῆς, καὶ τῆς ὕλης αὐτῆς.

ΤΟῦτον τὸν τρόπον διορισαμένης μέχρι τοῦδε τὴν λογικὴν δηλαδὴ μέθοδον ὑπὸ τὴν ἐπίκτητον ἕξιν ἀνάγεσθαι, ὡς εἰς γένος ἀνώτερον, καὶ μὴ ἔμφυτον εἶναι τῇ ἀνθρωπίνῃ φύσει, ἐχόμενον ἂν εἴη καὶ περὶ τοῦ προσεχοῦς αὐτῆς γένους εἰλικρινῶς διορίσασθαι. οἱ γὰρ ὁρισμοὶ τῶν πραγμάτων ἐκ τῶν

προ-

προσεχῶν γενῶν ἀποδίδονται. εἰ γὰρ καὶ ἀνωτέρω ἐν τῇ τῶν ἕξεων διαιρέσει ὑπὸ τὰς ἀεὶ ἀληθευτικὰς, καὶ διὰ τοῦτο ὑπὸ τὰς διανοητικὰς ἕξεις ὑπάγεσθαι εἴρηται, ἀλλὰ τῶν ἀεὶ ἀληθευτικῶν εἰς πέντε εἴδη διαιρεθεισῶν, οὐ διώρισαι ὑπὸ ποῖον τούτων ὑπάγεται ὡς εἰς προσεχῶς γένος, ταμιευθὲν ἐν τοῖς ἔπειτα. δέον τοιγαροῦν πάνυ ἀμεθόδως καὶ περὶ τούτου διωρίσασθαι, ἐφεξῆς δὲ καὶ περὶ τῆς διαφορᾶς τῆς προκειμένης ἕξεως προσληπτέον, ἵνα τὸν ὁρισμὸν ταύτης ὁλόκληρον ἀποδῶμεν. διοριστέον δὲ οὕτως.

Τῆς ἐπικτήτου Ἕξεως τριχῶς τεμνομένης, ὡς εἴρηται, εἰς θεωρητικὴν, πρακτικὴν, καὶ ποιητικὴν, ἀνάγκη τὴν λογικὴν μέθοδον ὑπὸ μίαν τούτων ὡς εἰς γένος οἰκεῖον ὑπάγεσθαι. τοῦτο δὲ διαγνῶναι χαλεπὸν, τοῖς μὴ τὴν οὐσίαν προλαβοῦσι τῆς ὕλης, περὶ ἣν καταγίνεται. αἱ γὰρ ἰδιότητες τῶν Ἕξεων ἀπὸ τῶν εἰδικῶν διαφορῶν τοῦ ὑποκειμένου ἑκάστης διακρίνονται. φέρε εἰπεῖν αἱ ἰδιότητες τῆς τεχνικῆς Ἕξεως διακρίνονται τῶν ἰδιοτήτων τῆς θεωρητικῆς καὶ πρακτικῆς ἕξεως διὰ τὸ ἀπαιτεῖν τὸν τεχνίτην περὶ τὸ ὑποκείμενον αὐτῷ γένος εἰσαγαγεῖν σχῆμα τοιοῦτον, ἢ τοιοῦτον διὰ τῶν κανόνων τῆς Τέχνης. τοῦτο δὲ διὰ τὸ μὴ ζητεῖν θεωρῆσαι τὴν φύσιν τοῦ ὑποκειμένου γένους αὐτῷ (ὅπερ ἐστὶν εἰδιτικὴ διαφορὰ τοῦ ὑποκειμένου τῆς θεωρητικῆς ἕξεως) ἀλλὰ περιθεῖναι αὐτὸ τὸ διὰ τῆς τέχνης σχῆμα, εἰδιτικὴ διαφορὰ τοῦ τεχνιτοῦ ὑποκειμένου λέγεται, ἀφ' οὗ καὶ ἡ ἰδιότης τῆς τεχνικῆς ἕξεως ἐκλαμβάνεται. τρόπος γὰρ ἰδιάζων τῇ τεχνητῇ ἕξει, ἐστὶ τὸ μὴ θεωρεῖν τὴν φύσιν τοῦ ὑποκειμένου γένους αὐτῇ, ἀλλ' ἢ ἐφ' ὅσον δεκτικὸν ἐστὶ τῆς διὰ τῆς Τέχνης ἐργασίας, ὥσπερ καὶ τρόπος ἰδιάζων τῇ θεωρητικῇ ἕξει τὴν φύσιν τοῦ ὑποκειμένου γένους αὐτῇ θεωρῆσαι. διὸ αἱ ἰδιότητες τῶν ἕξεων ἀπὸ τῶν ἰδιοτήτων τῶν ὑποκειμένων λαμβάνονται. ὁ γὰρ διάφορος τρόπος τὴν διαφορὰν τῶν ἕξεων ἀπεργάζεται. δέον ἄρα πρὸ τῶν ἄλλων περὶ τῆς ὕλης διασκέψασθαι, περὶ ἣν αὐτὴ καταγίνεται, ἵνα τό τε προσεχὲς αὐτῆς γένος γνῶμεν, καὶ τὴν διαφορὰν αὐτῆς προσλάβωμεν, καὶ οὕτω τὸν ὁρισμὸν αὐτῆς ἀποδώσωμεν, τοῖς λόγοις διεξοδικώτερον, ἢ ταῖς γνώμαις συγκεχυμένοι, ὡς τὰ πολλὰ τῶν νῦν φιλοσοφούντων οἱ πλεῖστοι φαίνονται. ἀλλ' ἐπὶ τοῦ παρόντος ἐργωδέστατον εἶναί τι δοκεῖ κἀυτοὺς συμφώνους εὑρεῖν ἑαυτοῖς. ἡμεῖς μὲν οὖν ὡς οἷοντε πειρασόμεθα συντομώτερον ἅμα καὶ ἀκριβέστερον τὰς δοκιμωτέρας τούτων ἐκθέσθαι δόξας, καὶ εἰς ἐπίδειξιν μᾶλλον συμβαλλομένας τοῦ ἀληθοῦς. ἵνα δὲ μὴ συμβαίη δυσχερέστερον ἕπεσθαι τοῖς λεγομένοις, ἀγνοούντων ἡμῶν τὴν διαφορὰν ὕλης ὑποκειμένης τε καὶ ἀντικειμένης, ἅπερ οἱ νεώτεροι συγχέοντες κακουργοῦσι, φέρε καὶ περὶ τούτων ὡς ἐν βραχὺ τεχνικήν τινα γνῶσιν προϋποθῶμεν ὑμῖν.



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Τρία τοιγαροῦν ταῦτα, Ἀντικείμενον, Ὑποκείμενον, καὶ Ὕλη φιλοῦσιν ἐνίοτε ἀντὶ τοῦ αὐτοῦ λαμβάνεσθαι παρὰ τοῖς νεωτέροις. ἀλλὰ τὸ μὲν Ἀντικείμενον ταῖς τῆς ψυχῆς δυνάμεσι ταῖς ἐνεργούσαις διὰ τῶν σωματικῶν αἰσθήσεων (αἳ καὶ ἔνδον αἰσθήσεις λέγονται) ἰδιαζόντως ἀποκεκλήρωται παρὰ τοῖς Φιλοσόφοις. οἷον ἐστί, φέρε εἰπεῖν, τὸ κεχρωματισμένον τῆς Ὄψεως ἀντικείμενον, καὶ ὁ ψόφος τῆς Ἀκοῆς, καὶ τὸ γλυκύ, ἢ πικρόν, καὶ τὰ τοιαῦτα τῆς Γεύσεως.

Τοῦ δὲ Ὑποκειμένου πολύσημός ἐστιν ἡ φωνὴ πλατύτερον ἐκλαμβανομένη. καὶ γὰρ πολλαχῶς οἱ Φιλόσοφοι ἐκλαμβάνειν εἰώθασι, μάλιστα δὲ τετραχῶς τοῦτο διαιρεθῆναι ἐνδέχεται. ἢ γὰρ καθὸ ὑπόκειταί τινι λαμβάνεται, ὅπερ κατ' αὐτοῦ κατηγορεῖται, καὶ λέγεται Ὑποκείμενον κατηγορήματος, καὶ ὑποκείμενον καθ' οὗ. ὡς ἐν ταῖς προτάσεσι τὸ ἔλαττον ἄκρον, ὑποκείμενόν ἐστι τοῦ μείζονος.

Ἢ ἀντὶ βάσεως οἱασοῦν ἐκλαμβάνεται, ἐφ' ἧς ἐπερόντι ἐπερείδεται· ὃ καὶ ὑποκείμενον ἐν ᾧ λέγεται. ὡς ἡ βάσις ὑποβέβηκε τῷ στύλῳ, καὶ τὸ θεμέλιον τῇ οἰκίᾳ. ἢ ὑποκείμενον ἐξ οὗ λέγεται, ὡς ὁ χαλκὸς ὑποκείμενον ἐστι τῆς μορφῆς τοῦ ἀνδριάντος, ἐξ οὗ ὁ ἀνδριὰς γίνεται.

Ἢ Ὑποκείμενον λέγεται ἐκεῖνο περὶ ὅ τις ἕξις καταγίνεται, ἢ θεωροῦσα τοῦτο, καὶ τὴν τούτου οὐσίαν ἀκριβῶς ἐπιγνῶναι σπουδάζουσα, ἢ περὶ αὐτὸ ποιοῦσα τὴν ἐνέργειαν, καὶ τοιόνδε σχῆμα εἰς αὐτὸ ἐγχαράξαι σκοπεύουσα. καὶ εἰ μὲν τὴν φύσιν αὐτοῦ ἐπιγνῶναι σπουδάζει, λέγεται ὑποκείμενον θεωρητικόν. εἰ δὲ σχῆμα περιθεῖναι σκοπεύει, λέγεται τεχνητόν.

Τελευταῖον δὲ Ὑποκείμενον λέγεται ὡς ἐν ταῖς κατηγορίαις, καθ' οὗ τὰ ἄλλα κατηγορεῖται, ἢ κατ' οὐσίαν, ἢ κατὰ συμβεβηκός. ὥσπερ ἡ πρώτη οὐσία ὑποκείμενόν ἐστι, τῶν μὲν δευτέρων οὐσιῶν εἰς κατηγορίαν, ἥτις καὶ καθ' αὑτὸ κατηγορία λέγεται, τῶν δὲ συμβεβηκότων εἰς ὕπαρξιν, ἥτις καὶ κατὰ συμβεβηκὸς κατηγορία. οἷον ὁ Πέτρος, ἥτις πρώτη οὐσία λέγεται, ὑπόκειται ταῖς δευτέραις οὐσίαις, αἵπερ εἰσὶ τὸ γένος καὶ τὸ εἶδος, ἤτοι τὸ ζῶον καὶ ὁ ἄνθρωπος, καθ' οὗ αὗται κατηγοροῦνται ὡς οὐσιώδη ἐκεῖνα μέρη, ἐξ ὧν ἡ οὐσία τοῦ Πέτρου καθέστηκεν. ἀλλὰ τὸν πρῶτον τρόπον τοῦ ὑποκειμένου, καὶ τὸν τελευταῖον, εἴτις αὐθ' ἑνὸς λείψοιτο, οὐκ ἂν διαμάρτοι, (καὶ γὰρ ἐν ταῖς προτάσεσι τὸ μεῖζον ἄκρον, οὐσιωδῶς κατὰ τοῦ ἐλάττονος λέγεται.) εἰ μήπου τὶς μόνον τὴν ἐπιφορὰν τοῦ συλλογιστικοῦ σχήματος, ἀλλὰ μὴ καὶ τὴν ὕλην σκοπεύῃ. ἣν μὲν οὖν φίλον ἐστί τισι ταῦτα ἀνθ' ἑνὸς λαμβάνειν, τὰ τέσσαρα σημαινόμενα τοῦ ὑποκειμένου ἀναφαίνεται, ἅπερ



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Ψ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μὴ, ἀριθμήθωσαν πέντε. ἡ ὕλη δὲ σχετικῶς λέγεται πρὸς τὸ εἶδος. διὸ καὶ προσηκόντως ἐπὶ τῶν Τεχνῶν μόνον λαμβάνεται, εἰς ἣν ὁ Τεχνίτης εἰσαγαγεῖν σπουδάζει τὸ κατὰ τὴν Τέχνην εἶδος. οἷον εἰσὶ φέρε εἰπεῖν τὰ ξύλα τῷ Τέκτονι, καὶ ὁ χαλκὸς τῷ Ἀνδριαντοποιῷ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Τὸ Ὑποκείμενον διαιρεῖται οὕτω.

- Ὑποκείμενον κατηγορήματος, ὃ καὶ καθ' οὗ λέγεται. ὡς ἐν ταῖς προτάσεσι τὸ ἔλαττον ὑποκείμενόν ἐστι τοῦ μείζονος.
  - Καὶ ὑποκείμενον ἐν ᾧ, ἀντὶ βάσεως οἱασοῦν ἐκλαμβανόμενον. ὡς ἡ βάσις ὑποβέβηκε τῷ στύλῳ, καὶ τὸ θεμέλιον τῇ οἰκίᾳ.
  - Καὶ Ὑποκείμενον ἐξ οὗ. ὡς ὁ χαλκὸς ὑποκείμενόν ἐστι τῆς μορφῆς τοῦ ἀνδριάντος.
  - Καὶ Ὑποκείμενον περὶ ὃ τις ἕξις καταγίνεται.
- Προσέτι ὑποκείμενόν ἐστιν ὡς ἐν ταῖς κατηγορίαις, καθ' οὗ τὰ ἄλλα κατηγορεῖται, ἢ κατ' οὐσίαν, ἢ κατὰ συμβεβηκός.

Ὁ πρῶτος καὶ ἔσχατος τρόπος τοῦ ὑποκειμένου τοῖς βουλομένοις ἀνθ' ἑνὸς λαμβάνεται.

Ἰστέον ὅτι τοῦ ὑποκειμένου τὰ μὲν καθ' ἕκαστα μέρη καὶ εἴδη, μερικὰ ὑποκείμενα λέγεται, τὸ δὲ κατ' ἐξοχὴν εἶδος ἐξαίρετον ὑποκείμενον. φέρε εἰπεῖν ὡς ἐν τῇ Φυσικῇ πάντα μὲν τὰ φύσιν ἔχοντα ὁμοῦ λαμβανόμενα ἐστὶν ὑποκείμενον καθόλου. ἕκαστον δὲ τούτων ὡς μετέχον οἱασοῦν κινήσεως, ὑποκείμενον μερικὸν λέγεται. τὸ δὲ ἀΐδιον καὶ τὸ ὑπὸ παντοίαν μεταβολὴν, (παντοίας γὰρ μεταβολῆς ὑπάρχει δεκτικὸς ὁ ἄνθρωπος) εἰσὶν ἐξαίρετα ὑποκείμενα. ἀΐδιον μὲν ὡς ὁ Οὐρανὸς, τὸ ὑπὸ γένεσιν δὲ, φέρε εἰπεῖν ὁ ἄνθρωπος. ἐξαίρετα δὲ λέγονται ταῦτα διὰ τὸ εἶναι ὁ μὲν ἀρχὴ τῆς καθόλου κινήσεως, ὁ δὲ ὡς πλειόνων, μᾶλλον δὲ ἁπασῶν μετέχων τῶν κινήσεων. ὁμοίως καὶ ἐν τῇ Ἀστρονομίᾳ πάντες κοινῶς οἱ ἀστέρες πλάνητες, καὶ ἀπλανεῖς, καὶ τὰ λοιπὰ, εἰσὶν ὑποκείμενον καθόλου. ἰδίως δὲ οἱ πλάνητες, ἢ οἱ ἀπλανεῖς μερικὰ εἰσὶν ὑποκείμενα. ἐξαίρετον δὲ ὑποκείμενον ἐστὶν οἱ ἐν τῷ Ζωδιακῷ γεγραμμένοι ἀστέρες.



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## Ἰδιώματα τοῦ ἐπιστητοῦ Ὑποκειμένου.

ΤΑ' ἰδιώματα τοῦ ἐπιστητοῦ Ὑποκειμένου τυγχάνουσι πολλὰ καὶ διάφορα, τὰ δὲ μᾶλλον ἀναγκαῖα ταῦτα εἰσί. Πρῶτον δέον γινώσκεσθαι τὸ ἐπιστητὸν ὑποκείμενον, ὅτι ἐστί, δηλαδὴ προϋποτίθεσθαι ὕπαρξιν ἔχειν τοιαύτην, ᾗ τινι τὰ λεγόμενα κατ' αὐτῆς πάθη, καθ' αὑτὸ ἐφαρμόττειν. ὡς ἐπὶ τῆς Γεωμετρίας ὑπόκειται ἡ συνεχὴς ποσότης. ἥτις προγινώσκεται ὅτι τοιαύτην ἔχει φύσιν, ἐν ᾗ τοῦτο τὸ πάθος ἐφαρμόττειν δύναται. συστῆσαι δηλαδὴ τρίγωνον ἰσόπλευρον τῇ δοθείσῃ πεπερασμένῃ εὐθείᾳ. ὅπερ ἐστὶ πάθημα ἢ ἰδίωμα καθ' αὑτὸ τῇ συνεχῇ συντρέχον γραμμῇ. ἢ ὡς ἐν τῇ Φυσικῇ ὑπόκειται τὸ φύσιν ἔχον σῶμα, καθ' οὗ διάφορα πάθη ἐφαρμόττουσιν. ὡς ἡ στάσις καὶ ἡ κίνησις, καὶ μεταβολὴ, καὶ τὰ τοιαῦτα. ἅπερ ἐστὶ παθήματα τῷ φύσιν ἔχοντι ἐπακολουθοῦντα.

Δεύτερον. ὅτι ἀνάγκη ὑποκεῖσθαι τὸ τοιοῦτον ὑποκείμενον πᾶσι τοῖς ἐν ἐκείνῃ τῇ Ἐπιστήμῃ πραγματευομένοις πάθεσί τε καὶ ἀρχαῖς, ὡς ἔχει τὸ προτεθὲν τῆς ποσότητος παράδειγμα πρὸς Γεωμετρίαν. ἥτις ὑπόκειται τοῖς τε ὅροις καὶ τοῖς ἀξιώμασι, καὶ μὴν καὶ τοῖς αἰτήμασι πᾶσι τῆς Γεωμετρίας, καὶ τοῖς θεωρήμασι, καὶ προβλήμασιν αὐτῆς. ἢ καὶ ὡς ἐπὶ τῆς Φυσικῆς, ὑπόκειται τὸ φύσιν ἔχον πᾶσι τοῖς κατ' αὐτοῦ λεγομένοις, ἀρχαῖς μὲν ὡς τὴν ὕλην, καὶ τὸ εἶδος. πάθεσι δὲ ὡς κίνησιν, καὶ στάσιν, καὶ τὰ ὅμοια.

Τρίτον ἰδίωμά ἐστι, πάθη ἔχειν φύσει αὐτῷ ἐνυπάρχοντα, καὶ ἀρχὰς δι' ὧν τὰ λεγόμενα πάθη κατ' αὐτοῦ ἀποδείκνυνται, ὡς ἐπὶ τῆς συνεχοῦς ποσότητος. ἥτις φυσικὸν ἰδίωμα τοῦτο ἔχηκε, δύνασθαι δηλαδὴ τρίγωνον ἰσόπλευρον συστῆναι ἐπ' αὐτῇ. ἔχει τε μὴν καὶ ἀρχὴν τὴν λέγουσαν. πᾶσαι αἱ γραμμαὶ αἱ ἀπὸ τοῦ κέντρου εἰς τὴν περιφέρειαν ἐκφερόμεναι, ἴσαι εἰσί. δι' ἧς ἀρχῆς δείκνυται τὸ εἰρημένον ἰδίωμα τῆς ποσότητος κατ' αὐτῆς.

Πρὸς τούτοις δὲ πέφυκε τῷ ἐπιστητῷ ὑποκειμένῳ, τὸ εἰδοποιεῖν τὰς Ἐπιστήμας, οὐ καθὸ ἐστιν, ἀλλὰ καθὸ θεωρεῖται. οἷον, ἡ ποσότης διακρίνει καὶ ἀντιδιαστέλλει τὰς Μαθηματικὰς Ἐπιστήμας ἀπὸ τῶν ἄλλων, οὐ καθό ἐστι, τουτέστιν οὐ καθὸ ἐνυπάρχει φυσικῶς τῇ ὕλῃ, ἀλλὰ καθὸ ὑπ' αὐτῶν θεωρεῖται. δηλαδὴ καθὸ ἀπὸ τῆς ὕλης τῷ λόγῳ χωρίζεται οὕτως, ἢ ἐκείνως.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝ/ΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

*Ἰδιώματα τοῦ ἐπιστητοῦ ὑποκειμένου.*

Πρῶτον γινώσκεσθαι ὅτι ἐστί. τουτέστι προϋποτίθεσθαι τοιαύτην ὕπαρξιν ἔχειν. ἢ τινα τὰ λεγόμενα κατ' αὐτοῦ πάθη, καθ' αὐτὸ ἐφαρμόττει. ὡς ἐπὶ τῆς συνεχοῦς ποσότητος, τὸ συστῆναι ἐπ' αὐτῆς τρίγωνα, σκαληνά, καὶ ὀρθογώνια, ἅπερ εἰσὶ πάθη τῆς συνεχοῦς ποσότητος.

Ἀνάγκη ὑποκεῖσθαι τὸ ὑποκείμενον πᾶσι τοῖς ἐν ἐκείνῃ τῇ ἐπιστήμῃ θεωρουμένοις πάθεσι καὶ ἀρχαῖς.

Πάθη ἔχειν φύσει αὐτῷ ἐνυπάρχοντα, καὶ ἀρχάς, δι' ὧν τὰ λεγόμενα πάθη κατ' αὐτοῦ κατηγορεῖσθαι. ὡς τὸ φυσικὸν σῶμα, ὅπερ ἔχει πάθη, τουτέστι κίνησιν, καὶ στάσιν. καὶ ἀρχάς, δηλαδὴ ὕλην καὶ εἶδος, δι' ὧν τὰ τοιαῦτα ἀποδείκνυται. προσέτι τὸ εἰδοποιὸν τῆς ἐπιστήμης, οὐ καθὸ ἐστίν, ἀλλὰ καθὸ θεωρεῖται. οἷον τὸ φυσικόν, οὐ καθὸ ὄν, ἀλλὰ καθὸ φύσιν ἔχον.

## Ἰδιώματα τοῦ τεχνητοῦ Ὑποκειμένου, ἤτοι τῆς Ὕλης.

ΤΟ δὲ τῆς Τέχνης ὑποκείμενον ὑπόκειται μὲν καὶ αὐτὸ ὑφεστηκέναι τοιοῦτον εἶναι, οἷον ὑπὸ τοῦ Τεχνίτου ζητεῖται. τοιαύτην δηλαδὴ ἐπιτηδειότητα ἔχειν, ἥτις δύναιτ' ἂν τὸ ὑπὸ τοῦ Τεχνίτου στοχαζόμενον τέλος ἐκεῖνο περιθῆναι. οἷον ὁ χαλκὸς ἐν τῇ Ἀνδριαντοποιητικῇ ζητεῖται εἶναι τοιοῦτος, δηλαδὴ ἐπιτηδείως ἔχειν πρὸς τὸ δεχθῆναι τὸ τοῦ Ἀνδριάντος σχῆμα. οὐκ ἀναγκαῖον δὲ προγινώσκεσθαι ποίας ἂν εἴη φύσεως, εἰ μὴ κατὰ συμβεβηκός, ἐφ' ὅσῳ δηλαδὴ γνωσθείη εἰ ἐπιτηδείως ἔχοι πρὸς ὑποδοχὴν τοῦ διὰ τῆς Τέχνης εἴδους.

Προσέτι τὸ ἐν ταῖς Τέχναις ὑποκείμενον, οὐχ ὑπόκειται πᾶσι τοῖς ὑπὸ τῆς Τέχνης στοχαζομένοις σχήμασιν. οἷον, τὸ ξύλον οὐχ ὑπόκειται τῇ Ναυπηγικῇ καθ' αὐτὸ μόνον, ἀλλὰ καὶ ἧλοι καὶ πίσσα προσλαμβάνεται ἐπὶ τῇ κατασκευῇ τῆς Νηός, ὅπερ ἐπὶ τοῦ ἐπιστητοῦ ὑποκειμένου οὐ γίνεται.

Τρίτον. ἡ ἐν ταῖς Τέχναις εἰδοποίησις, οὐκ ἀπὸ τοῦ ὑποκειμένου, ἀλλὰ ἀπὸ τοῦ τέλους λαμβάνεται. πολλαὶ γὰρ Τέχναι δύνανται τὸ αὐτὸ ὑποκείμενον ἔχειν. καὶ ὃ ποιεῖ ἐν τοῖς Ἐπιστήμαις ὁ τρόπος τῆς θεωρίας, ταυτὸ τοῦτο ἐν ταῖς Τέχναις τὸ τέλος. τῷ γὰρ τέλει αἱ Τέχναι πρὸς ἀλλήλας διαιροῦνται, ὡς τῷ τρόπῳ τῆς θεωρίας αἱ Ἐπιστῆμαι.

Ἰδιώ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

**Ἰδιώματα τοῦ τεχνητοῦ ὑποκειμένου.**

- Ζητεῖται εἶναι τοιοῦτον, δηλαδὴ ἐπιτηδειότητα ἔχειν πρὸς τὸ ὑποδεχθῆναι τὸ διὰ τῆς Τέχνης σχῆμα. προγινώσκεται δὲ οὐκ ἀναγκαίως, ἀλλ' ἢ κατὰ συμβεβηκός.
- Οὐχ ὑπόκειται πᾶσι τοῖς ὑπὸ τῆς τέχνης στοχαζομένοις σχήμασι, ἀλλὰ καὶ ἕτερα προσληπτέον.
- Ἡ ἐν ταῖς τέχναις εἰδοποίησις, οὐκ ἀπὸ τοῦ ὑποκειμένου, ἀλλ' ἀπὸ τοῦ τέλους λαμβάνεται.
- Προσέτι οὐκ ἀναγκαῖον ἔχειν πάθη, ἐξ ἀρχῆς, δι' ὧν τὰ πάθη κατ' αὐτοῦ ἀποδείκνυνται.

## Διαφορὰ Ὑποκειμένου Ἐπιστητοῦ, καὶ Ὕλης Τεχνητῆς.

Ἐκ δὴ τούτων πάντων ἡ διαφορὰ τοῦ τεχνητοῦ, καὶ ἐπιστητοῦ ὑποκειμένου πᾶσι κατάδηλος γίνεται. τὸ γὰρ ἐπιστητὸν ὑποκείμενον ἐξ ἀνάγκης πρὸ τοῦ τέλους, ὡς ἔφημεν, διαγινώσκεται ὁποίας ἂν εἴη φύσεως. τὸ δὲ τεχνητὸν οὐκ ἐξ ἀνάγκης, εἰ μὴ κατὰ συμβεβηκός. ἔτι τὸ μὲν πᾶσι τοῖς τῆς Ἐπιστήμης λόγοις ὑπόκειται, τὸ δὲ οὐ πάσαις ταῖς τῆς Τέχνης ποιήσεσι. προσέτι ἐν ταῖς Ἐπιστήμαις πρὸ τοῦ τέλους τὸ ὑποκείμενον ἐστὶ τὸ προγινωσκόμενον. Ἐπὶ δὲ τῶν Τεχνῶν πρὸ τῆς Ὕλης τὸ τέλος. διὸ τὸ τέλος ἔσθ' ὅτε ὑποκείμενον καλεῖται ἐπὶ τῶν Τεχνῶν, ἐφ' ὅσον πρόκειται ἐν τῇ διανοίᾳ τοῦ Τεχνίτου πρὸ τῆς ἐργασίας. διὰ γὰρ τὸ τέλος ἡ ἐργασία γίνεται. μεταφορικῶς μέν τοι λέγεται, καὶ οὐ κυρίως.

Πρὸς τούτοις τὸ τῆς Ἐπιστήμης ὑποκείμενον ἀΐδιον εἶναι ὀφείλει καὶ ἀδιάπτωτον, ὅπου γε τὸ τεχνητὸν μεταβλητόν τε καὶ γεννητὸν πέφυκεν ὑπὸ τοῦ Τεχνίτου. καὶ γὰρ ὁ ποιητὴς ἀρχὴ τῆς γενέσεως τούτου.

Ἔτι, τὸ μὲν πάσας τὰς Ἐπιστήμας ποιεῖ διαφέρειν πρὸς ἀλλήλας τῷ τρόπῳ καθ' ὃν θεωρεῖται, τὸ δὲ οὐδὲν τοιοῦτον ἐργάζεται, εἰ μὴ ἀπὸ τοῦ τέλους.

Τούτοις τοιγαροῦν ἅπασι καὶ τοῖς τοιούτοις τούτων ἡ διαφορὰ πρόδηλος

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

λος γίνεται. εἰ δέ τις ταῦτα πάντα εἰς τρεῖς τινας τρόπους ἀνάξειεν, ἵνα μᾶλλον εὐμνημόνευτα εἶεν, οὐ παρὰ χορδὴν ὁ λόγος.

Πρῶτος τοιγαροῦν ἐστιν. ὅτι ἐπὶ τῶν θεωρητικῶν ἕξεων τὸ ἐπιστητὸν ὑποκείμενον προτίθεται μόνον εἰς γνῶσιν. ὅθεν καὶ γενικὸς ἐπιστητὸν λέγεται. ἐπὶ δὲ τῶν ποιητικῶν ἕξεων καὶ Τεχνῶν, ἡ ὕλη οὐκ εἰς γνῶσιν ὑποτίθεται, ἀλλ᾽ εἰς ἐργασίαν. ὅθεν καὶ γενικὸς Τεχνητὸν λέγεται. διὸ τὸ ἐπιστητὸν ὑποκείμενον ἀΐδιον εἶναι ὀφείλει, ὡς μηδαμῶς ὑπὸ τοῦ ἐπιστήμονος μεταβαλλόμενον, ἀλλὰ μόνον ἡ τούτου οὐσία καὶ φύσις γνωσθεῖσα, τέλος ἡ θεωρία λαμβάνει. τὸ δὲ Τεχνητὸν διαφόρως μεταβάλλεται ὑπὸ τῆς Τέχνης, καὶ παντοίους σχηματισμοὺς ἐπιδέχεται.

Δεύτερος. ὅτι κατὰ τοῦ ὑποκειμένου τῆς Ἐπιστήμης ἀποδείκνυται τὰ ἐνόντα αὐτῷ ἴδια πάθη διὰ τῶν οἰκείων ἀρχῶν. κατὰ δὲ τῆς τεχνητῆς ὕλης οὐκ ἀποδείκνυσιν ὁ Τεχνίτης τὰ πάθη τῆς αὐτῆς ὕλης διὰ τῶν οἰκείων αὐτῇ ἀρχῶν, ἀλλ᾽ εἰσάγει εἰς αὐτὴν τὸ τεχνητὸν εἶδος διὰ τῶν παραγγελμάτων, καὶ κανόνων τῆς Τέχνης.

Τρίτος, ὅτι τὰ θεωρούμενα πράγματα ὑπὸ τῆς Ἐπιστήμης, συγκεφαλαιοῦται εἰς ἑνὸς γένους ἐπιστητοῦ συμπλήρωσιν, καὶ τῶν ἄλλων ἀντιδιαστέλλεται κατὰ τὸν ἰδιάζοντα τρόπον τῆς θεωρίας, ᾧ κέχρηται ἡ Ἐπιστήμη. ἐπὶ δὲ τῶν Τεχνῶν τὰ ὑποκείμενα πράγματα, ἀπὸ τοῦ τέλους ἔχει καὶ τὴν ἕνωσιν καὶ τὴν διάκρισιν, ἀπὸ τῶν λοιπῶν Τεχνῶν.

Κἀκεῖνο δέον εἰδέναι, ὅτι ἑκάστης Ἐπιστήμης, ἢ Τέχνης τὸ ὑποκείμενον διττόν ἐστι. περὶ ὅ, καὶ ἐν ᾧ. περὶ ὃ μέν, φέρ᾽ εἰπεῖν, ὡς ἐπὶ τῆς Φυσικῆς τὸ φυσικὸν σῶμα, περὶ ὃ τὴν σπουδὴν προβάλλεται διὰ τὴν γνῶσιν. καὶ ἐπὶ τῆς Γραματικῆς, τὰ ὀκτὼ μέρη τοῦ λόγου. ἐν ᾧ δέ, ἡ ψυχὴ τοῦ Ἐπιστήμονος, ἢ τοῦ Τεχνίτου. ἐν ᾗ ψυχῇ πᾶσαι αἱ Τέχναι, καὶ Ἐπιστῆμαι ἐνοικοῦσι.

Τέλος.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Πρῶτον. ὅτι τὸ ἐπιστητὸν ὑποκείμενον ὑποτίθεται μόνον εἰς γνῶσιν, τὸ δὲ τεχνητὸν οὐκ εἰς γνῶσιν ἀλλ' εἰς ἐνέργειαν. ὅθεν καὶ τὸ μὲν γένος ἐπιστητὸν, τὸ δὲ, γένος τεχνητὸν λέγεται.

Τρισὶ τρόποις διαφέρει τὸ ἐπιστητὸν ὑποκείμενον τοῦ τεχνητοῦ.

Δεύτερον. ὅτι κατὰ τοῦ ἐπιστητοῦ ὑποκειμένου ἀποδείκνυται τὰ πάθη διὰ τῶν οἰκείων ἀρχῶν. ἐπὶ δὲ τῆς ὕλης οὐκ ἀποδείκνυται τὰ πάθη κατ' αὐτῆς, ἀλλ' εἰσάγει εἰς αὐτὴν ὁ τεχνίτης τὸ τεχνικὸν εἶδος διὰ τῶν κινήσεων αὐτῆς.

Τρίτον. ὅτι τὰ θεωρούμενα πράγματα ὑπὸ τῆς ἐπιστήμης συγκεφαλαιοῦνται εἰς ἓν ἐπιστητὸν γένος κατὰ τὸν ἰδιάζοντα τρόπον τῆς θεωρίας, τὰ δὲ θεωρούμενα ὑπὸ τῆς τέχνης ἀπὸ τοῦ τέλους ἔχει καὶ τὴν ἕνωσιν καὶ διάκρισιν.

## Περὶ διαφορᾶς Τέλους τῆς Ἐπιστήμης, καὶ Τέχνης.

Τέλος δὲ ἐπὶ μὲν τῶν Θεωρητικῶν ἕξεων (ἤτοι τῶν Ἐπιστημῶν) ἐστὶν ἡ γνῶσις τῆς ἀληθείας περὶ τὸ οἰκεῖον ἐπιστητὸν, ἤτοι ἡ γνῶσις τῶν ζητουμένων περὶ τὸ ὑποκείμενον. ἐπὶ δὲ τῶν Ποιητικῶν, δηλαδὴ τῶν Τεχνῶν, τέλος ἐστὶν ἀποτέλεσμά τι, ἐνίοτε μὲν ἐπ' αὐτῆς τῆς ποιήσεως μόνον θεωρούμενον, ὡς ἐπὶ τῆς Ὀρχηστικῆς, ἢ τῆς Αὐλητικῆς, καὶ τῶν ὁμοίων. τὸ γὰρ μὴ ἐναπομένειν μετὰ τὴν ποίησιν ἐπὶ τῶν τοιούτων Τεχνῶν τὸ ἀποτέλεσμα, οὐ προέρχεται ἀπὸ τοῦ λόγου τῆς Τέχνης, ἀλλὰ ἀπὸ τῆς τοῦ ὑποκειμένου συστάσεως. ὡς τὰ πολλὰ δὲ καὶ διαμένον μετὰ τὴν ποίησιν, ὡς ἐπὶ τῆς Σκυτοτομικῆς, φέρε εἰπεῖν, ἡ ἐμβὰς, καὶ ἐπὶ τῆς Ναυπηγικῆς τὸ Πλοῖον.

Προσέτι διαφέρουσιν. ὅτι τὸ τέλος τῶν Ἐπιστημῶν ὅπερ ἐστὶν ἡ γνῶσις, εἰ καὶ μὴ ἐν τῇ γνώσει τοῦ ἀνθρώπου τυγχάνει, ἀλλ' οὖν τὰ ἐπιστητὰ καθ' ἑαυτὰ τοιαῦτα τυγχάνουσιν, οἷα ἔμελλον ἐν τῇ τοῦ ἐπιστήμονος γνώσει ἐνεῖναι. τὸ δὲ τέλος τῶν Τεχνῶν, οὐχ οὕτως ἔχει. οὐ γὰρ ἐνυπάρχει τῇ ὑποκειμένῃ ὕλῃ, εἰ μὴ ἡ ἐργασία τελεία περὶ ἐκείνην γένοιτο.

Δια-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Δ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Διαφορὰ τέλους Τέχνης, καὶ Ἐπιστήμης.

- Ἐπὶ μὲν τῶν Ἐπιστημῶν τέλος ἐστὶν ἡ γνῶσις τῆς ἀληθείας περὶ τὸ οἰκεῖον ὑποκείμενον.
- Ἐπὶ δὲ τῶν Τεχνῶν τέλος ἐστὶν ἀποτέλεσμά τι.
  - Ἢ ἐναπομένον ὡς ἐπὶ τῆς Ναυπηγικῆς, καὶ τῶν ὁμοίων.
  - Ἢ μὴ ἐναπομένον ὡς ἐπὶ τῆς Αὐλητικῆς, καὶ τῶν ὁμοίων.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Περὶ διαφορᾶς τοῦ τεχνητοῦ Τέλους τῆς τεχνητῆς Ὕλης.

Διαφέρει δὲ καὶ τὸ Τέλος τῆς Τέχνης τῆς κατ' αὐτὴν Ὕλης, ὅτι ἡ μὲν Ὕλη ὑποτίθεται οὖσα πρὸ τῆς κατὰ τὴν Τέχνην ἐνεργείας, τὸ δὲ Τέλος οὐχ ὑπάρχει πρὸ τῆς τοῦ Τεχνίτου ἐνεργείας, ἀλλ' ἐπὶ μόνης τῆς τούτου διανοίας. Ἔτι παρασκευασθείσης τῆς Ὕλης, ἄρχεται ἡ ἐργασία τοῦ Τεχνίτου, πορισθέντος δὲ τοῦ τέλους, παύεται πᾶσα ἡ ἀπὸ τῆς Τέχνης ἐνέργεια. ὁμοίως ταῦτα ἔχουσι καὶ ἐπὶ τῶν θεωρητικῶν ἕξεων.

Διαφορὰ Τεχνητοῦ τέλους τῆς κατ' αὐτὴν ὕλης.

- Πρῶτον. ὅτι ἡ μὲν ὕλη προϋπάρχει τῆς ἐργασίας, τὸ δὲ τέλος οὐ προϋπάρχει.
- Δεύτερον παρασκευασθείσης τῆς ὕλης, ἄρχεται ἡ ἐργασία τοῦ τεχνίτου, πορισθέντος δὲ τοῦ τέλους, παύεται καὶ ἡ ἐργασία.

## Ἔκθεσις τῶν ἀλλοτρίων δογμάτων, περὶ τῆς κατὰ Λογικὴν Ὕλης.

Τούτων οὕτω προληφθέντων, ἐκθετέον λοιπὸν καὶ τὰς διαφόρους περὶ τῆς κατὰ Λογικὴν Ὕλης δόξας. ἵνα τούτων ἀναιρεθεισῶν λαμπροτέ-



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006